# Ὀρφέως
## τελεταί.
### πρὸς
### Μουσαῖον.

Μάνθανε δὴ Μουσαῖε θυηπολίην περὶ σεμνὴν
Εὐχήν. ἥδη τοι προφερεστέρη ἐστὶν ἁπασῶν.
Ζεῦ βασιλεῦ. καὶ γαῖα. καὶ οὐράνιαι φλόγες ἁγναὶ
ἠλίου. μήνης θ' ἱερὸν σέλας: ἄστρα τε πάντα.
καὶ σὺ ποσείδαον γαιήοχε κυανοχαῖτα.
Φερσοφόνη θ' ἁγνὴ. δημήτηρ τ' ἀγλαόκαρπε.
ἄρτεμι ἰοχέαιρα κόρη. καὶ ἤιε φοῖβε.
ὃς δελφῶν κατέχεις ἱερὸν πέδον, ὅσε μέγιστας.
Τιμὰς ἐν μακάρεσσιν ἔχεις διόνυσε χορευτά.
ἄρες τ' ὀβριμόθυμε. καὶ ἡφαίστου μένος ἁγνόν.
ἀφρογενής τε θεὰ μεγαλώνυμα δῶρα λαχοῦσα:
καὶ σὺ καταχθονίων βασιλεῦ μέγ' ὑπέροχε δαῖμον:
καὶ τὸ δικαιοσύνης τε καὶ εὐσεβίης μέγ' ὄνειαρ:
κικλήσκω. νύμφας τε κλυτὰς καὶ πᾶνα μέγιστον:
ἥρην τ' αἰγιόχοιο διὸς θύγατρα πρεσβύταν:
μνημοσύνην τ' ἐρατήν. μούσας τ' ἐπικέκλημαι ἁγνάς
Ἐννέα. καὶ χάριτάς τε καὶ ὥρας ἠδ' ἐνιαυτόν.
λητώ τ' εὐπλόκαμον θείην. σεμνήν τε διώνην:
κούρητας τ' ἐνόπλους. κορύβαντάς τ' ἠδὲ καβείρους: ms. τ' male.
καὶ μεγάλους σωτῆρας ὁμοῦ. διὸς ἄφθιτα τέκνα:.
ἰδαίους τε θεοὺς ὅδ' ἄγγελον οὐρανιώνων,
ἑρμείαν κήρυκα. θέμιν θ' ἱερόσκοπον ἀνδρῶν.
ῥείαν τ' ἠδὲ κρόνον καὶ τηθὰν κυανόπεπλον. ms. τηθὰν. γρ. τήθυα τε-τῃ.
ἄτλαντά τε καὶ αἰῶνος μέγ' ὑπέροχον ἰσχύν:
δαίμονας ἁγνοὺς πυριφοίτους ἥρωας τε.
παλλάδα τ' ἐγρεμάχην κούρην. ἀνέμους τε πρόπαντας.
ἀρχήν τ' ἠδὲ πέρας. τὸ γὰρ ἔπλετο πᾶσι μέγιστον.
Εὐμενέας ἐλθεῖν κεχαρημένον ἦτορ ἔχοντας,
Τὴν δε θυηπολίην ἱερήν. σπονδήν τ' ἐπὶ σεμνήν:~